Ὅμοια πόρνη δάκρυ⟨α⟩ καὶ ῥήτωρ ἔχει.  
Οἴνῳ γὰρ ἐμποδίζεται τὸ συμφέρον.  
Ὁ γραμμάτων ἄπειρος οὐ βλέπει βλέπων.  
Ὁ λόγος ἰατρὸς {ἐστι} τοῦ κατὰ ψυχὴν πάθους.  
Ὁ νοῦς γὰρ ἡμῶν ἐστιν ἐν ἑκάστῳ θεός.  
Οὐ χρὴ φέρειν τὰ πρόσθεν ἐν μνήμῃ κακά.  
Οὐκ ἔστι πενίας μεῖζον οὐδὲν ἐν βίῳ.  
Ὁ μὴ γαμῶν ἄνθρωπος οὐκ ἔχει κακά.  
Ὅρκον δὲ φεῦγε, κἂν δικαίως ὀμνύῃς.  
Ὀχληρός ἐστ᾽ ἄνθρωπος ἐν νέοις γέρων.  
Οὐδὲν πέπονθας δεινόν, ἂν μὴ προσποιῇ.  
Ὅπου βία πάρεστιν, οὐ σθένει νόμος.  
Οὐκ ἔστιν, ὅστις πάντ᾽ ἀνὴρ εὐδαιμονεῖ.  
Οὐδὲν σιωπῆς ἔστι χρησιμώτερον.  
Ὁ χρηστὸς ὡς ἔοικε καὶ χρηστοὺς ποιεῖ.